e | rara

www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

**Homerus**

**[Basel], [1541]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Odysseias G

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Γ ΟΔΥΣΣΕΙΑΣ ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Τηλέμαχον ἐλθόντα σὺν Ἀθηνᾷ ξενίζει Νέστωρ· καὶ διηγεῖται αὐτῷ τὰ συμβεβηκότα τοῖς Ἕλλησι καὶ τὸν ἀπόπλουν ἐκ Τροίας. πυθόμενος δὲ τὰ περὶ τοὺς μνηστῆρας, καὶ γνωρίσας Ἀθηνᾶν ἀποιοῦσαν, θυσίαν αὐτῇ ἐπιτελεῖ. λαβὼν δὲ ὁ Τηλέμαχος ἅρμα σὺν Πεισιστράτῳ Νέστορος υἱῷ, εἰς Σπάρτην ἀπαίρει. νυκτὸς δὲ ἐπιγενομένης ξενίζονται παρὰ Διοκλεῖ ἐν Φηραῖς.

ΑΛΛΩΣ.

Τηλέμαχος εἰς Πύλον καταχθεὶς ἅμα τῇ Ἀθηνᾷ ἐν Μέντορος μορφῇ καταλαμβάνει τοὺς Πυλίους θυσίαν ταύρων ἐπιτελοῦντας τῷ Ποσειδῶνι. καί τι περὶ τοῦ πατρὸς αὐτῷ πυθομένῳ, ἐκτίθεται τινὰ τῶν ἰλιακῶν διηγημάτων. μετὰ τοῦτο ἡ μὲν Ἀθηνᾶ, ἐν ὄρνεου μορφῇ ἀπαλλάττεται. ὁ δὲ Νέστωρ θυσίαν αὐτῇ συντελέσας τὸν Τηλέμαχον ἅμα τῷ υἱῷ Πεισιστράτῳ εἰς Λακεδαίμονα ἀποπέμπει.

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Γ ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ.

Ἀνόρουσε.] ἀνώρμησεν. λίμνην.] νῦν τὸν ὠκεανόν. πολύχαλκον.] ἰσχυρὸν, στερεόν. φαείνῃ.] φαίνει, λάμψῃ. ζείδωρον.] τὴν τὰ πρὸς ζωὴν δωρουμένην. ῥέζον.] ἔπραττον, ἔθυον. ἷξον.] ἀφίκοντο, ἦλθον. ταύρους παμμέλανας.] ταύρους μὲν διὰ τὸ βίαιον τῆς θαλάσσης. μέλανας δὲ διὰ τὴν χροιὰν τοῦ ὕδατος τὴν ἐκ τοῦ βάθους. Ἐνοσίχθονι.] τῷ Ποσειδῶνι τῷ κινοῦντι τὴν γῆν. ἔνωσις γὰρ ἡ κίνησις, χθὼν δὲ ἡ γῆ. δοκοῦσι γὰρ οἱ σεισμοὶ ὑπ' αὐτοῦ εἶναι. κυανοχαίτῃ.] μελανοχρῶτι. ἐννέα δ' ἕδραι ἔσαν.] ἐννέα συνέδρια ἦν τῶν πόλεων, διὰ τὸ ἐννεάπολιν εἶναι τὴν Πύλον. προὔχοντο.] προέχοντο παρεῖχον, ἢ κατεῖχον ἐπὶ τῷ σφάξαι. ἑκάστοθι.] ἑκάστοτε ἐφ' ἑκάστης. οὐθ' οἱ.] αὐτίκα ὅτοι. ἐΐσης.] ἴσης κατὰ τοὺς τοίχους. στεῖλαν.] συνέστειλαν. ἐπάσαντο.] ἐγεύσαντο. ἐκ δ' ἔβαν.] ἐξέβησαν. ἐκβαῖνε.] ἐξέβαινεν. ἔτ' αἰδοῦς.] ἔτι αἰδεῖσθαι. ἐπέπλως.] ἔπλευσας. κύθε.] κεύθει, κρύπτει ἢ ἔκρυψεν. ἐπέσπεν.] ἐπλήρωσεν. εἴδομεν.] γνῶμεν, μάθωμεν. μῆτιν.] βουλὴν, γνώμην. ἴω.] πορευθῶ. προσπτύξομαι.] προσεταιρήσομαι, προσαγορεύσω, φιλοφρονήσομαι. πεπείρημαι.] ἔμπειρός εἰμι. οὐκ ἤσκημαι λόγοις. πυκινοῖς.] συνετοῖς σώφροσιν. γεραίτερον.] παλαιότερον. ἐξερέεσθαι.] ἐπερωτᾶν.

ὑποθήσεται.]

† γαῖα κεύθει

# ΟΔΥΣΣΕΙΑΣ Γ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Γάμμ' ὑπὸ Νέστωρ δέκτο, συνῶρτο δ' ὃς ἦι, θεὰ δ' ἔπτη.

Ἠέλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην,
Οὐρανὸν ἐς πολύχαλκον, ἵν' ἀθανάτοισι (φαείνῃ,
Καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρου(ραν,
Οἱ δὲ Πύλον Νηλῆος ἐϋκτίμενον πτολίεθρον
Ἷξον, τοὶ δ' ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον,
Ταύρους παμμέλανας Ἐνοσίχθονι κυανοχαίτῃ,
Ἐννέα δ' ἕδραι ἔσαν, πεντηκόσιοι δ' ἐν ἑκάστῃ
Εἵατο, καὶ προὔχοντο ἑκάστοθι ἐννέα ταύρους.
Εὖθ' οἱ σπλάγχν' ἐπάσαντο, θεῷ δ' ἐπὶ μηρία καῖον,
Οἱ δ' ἰθὺς κατάγοντο, ἰδ' ἱστία νηὸς ἐΐσης
Στεῖλαν ἀείραντες, τὴν δ' ὥρμισαν, ἐκ δ' ἔβαν αὐτοί.
Ἐκ δ' ἄρα Τηλέμαχος νηὸς βαῖν', ἦρχε δ' Ἀθήνη.
Τὸν προτέρη προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη.
  Τηλέμαχ' οὐ μέν σε χρὴ ἔτ' αἰδοῦς, οὐδ' ἠβαιόν,
Τοὔνεκα γὰρ καὶ πόντον ἐπέπλως, ὄφρα πύθηαι
Πατρὸς ὅπου † κύθε γαῖα, καὶ ὅντινα πότμον ἐπέσπεν.
Ἀλλ' ἄγε νῦν ἰθὺς κίε Νέστορος ἱπποδάμοιο
Εἴδομεν ἥν τινα μῆτιν ἐνὶ στήθεσσι κέκευθε,
Λίσσεσθαι δέ μιν αὐτὸν ὅπως νημερτέα εἴπῃ,
Ψεῦδος δ' οὐκ ἐρέει. μάλα γὰρ πεπνυμένος ἐστί.
  Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα.
Μέντορ, πῶς τ' ἄρ ἴω, πῶς τ' ἄρ προσπτύξομαι αὐτόν,
Οὐδέ τί πω μύθοισι πεπείρημαι πυκινοῖσιν,
Αἰδὼς δ' αὖ νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι.
  Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Τηλέμαχ' ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις,

Ἄλλα

Ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται, οὐ γὰρ ὀΐω
Οὔ σε θεῶν ἀέκητι γενέσθαι, τετραφέμεν τε.
Ὣς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς Ἀθήνη
Καρπαλίμως, ὁ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο.
Ἷξον δ' ἐς Πυλίων ἀνδρῶν ἄγυρίν τε καὶ ἕδρας.
Ἔνθ' ἄρα Νέστωρ ἧστο σὺν υἱάσιν, ἀμφὶ δ' ἑταῖροι
Δαῖτ' ἐντυνόμενοι κρέα τ' ὤπτων, ἄλλα τ' ἔπειρον,
Οἱ δ' ὡς οὖν ξείνους ἴδον, ἀθρόοι ἦλθον ἅπαντες,
Χερσίν τ' ἠσπάζοντο, καὶ ἑδριάασθαι ἄνωγον,
Πρῶτος Νεστορίδης Πεισίστρατος ἐγγύθεν ἐλθὼν,
Ἀμφοτέρων ἕλε χεῖρα, καὶ ἵδρυσε, παρὰ δαιτί
Κώεσιν ἐν μαλακοῖσιν, ἐπὶ ψαμάθοις ἁλίῃσι,
Πάρ τε κασιγνήτῳ Θρασυμήδεϊ, καὶ πατέρι ᾧ.
Δῶκε δ' ἄρα σπλάγχνων μοίρας, ἐν δ' οἶνον ἔχευε
Χρυσέῳ ἐν δέπαϊ, δειδισκόμενος δὲ προσηύδα
Παλλάδ' Ἀθηναίην κούρην Διὸς αἰγιόχοιο.
Εὔχεο νῦν ὦ ξεῖνε Ποσειδάωνι ἄνακτι.
Τοῦ γὰρ καὶ δαίτης ἠντήσατε δεῦρο μολόντες,
Αὐτὰρ ἐπὴν σπείσῃς τε καὶ εὔξεαι ἣ θέμις ἐστὶ,
Δὸς καὶ τούτῳ ἔπειτα δέπας μελιηδέος οἴνου
Σπεῖσαι, ἐπεὶ καὶ τοῦτον ὀΐομαι ἀθανάτοισιν
Εὔχεσθαι, πάντες δὲ θεῶν χατέουσ' ἄνθρωποι,
Ἀλλὰ νεώτερός ἐστιν, ὁμηλικίη δ' ἐμοὶ αὐτῷ.
Τοὔνεκά σοι προτέρῳ δώσω χρύσειον ἄλεισον.
Ὣς εἰπὼν ἐν χερσὶ τίθει δέπας ἡδέος οἴνου,
Χαῖρε δ' Ἀθηναίη πεπνυμένῳ ἀνδρὶ δικαίῳ,
Οὕνεκά οἱ προτέρῃ δῶκε χρύσειον ἄλεισον,
Αὐτίκα δ' εὔχετο πολλὰ Ποσειδάωνι ἄνακτι,
Κλῦθι Ποσείδαον γαιήοχε, μηδὲ μεγήρῃς
Ἡμῖν εὐχομένοισι τελευτῆσαι τάδε ἔργα.
Νέστορι μὲν πρώτιστα καὶ υἱάσι κῦδος ὄπαζε.
Αὐτὰρ ἔπειτ' ἄλλοισι δίδου χαρίεσσαν ἀμοιβὴν,
Σύμπασι Πυλίοισιν ἀγακλειτῆς ἑκατόμβης.
Δὸς δ' ἔτι Τηλέμαχον καὶ ἐμὲ πρήξαντα νέεσθαι
Οὕνεκα δεῦρ' ἱκόμεσθα θοῇ σὺν νηῒ μελαίνῃ
Ὣς ἄρ' ἔπειτ' ἠρᾶτο, καὶ αὐτὴ πάντα τελεύτα.
Δῶκε δὲ Τηλεμάχῳ καλὸν δέπας ἀμφικύπελλον,
Ὣς δ' αὔτως ἠρᾶτο Ὀδυσσῆος φίλος υἱός,
Οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ ἐρύσαντο,
Μοίρας δασσάμενοι, δαίνυντ' ἐρικυδέα δαῖτα,
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Τοῖς ἄρα μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ.
Νῦν δὴ κάλλιόν ἐστι μεταλλῆσαι καὶ ἐρέσθαι,
Ξείνους οἵ τινές εἰσιν, ἐπεὶ τάρπησαν ἐδωδῆς,
Ὦ ξεῖνοι, τίνες ἐστὲ, πόθεν πλεῖθ' ὑγρὰ κέλευθα,
Ἦ τι κατὰ πρῆξιν, ἢ μαψιδίως ἀλάλησθε,

Οἷά τε

ὑποθήσεται.] ὑποβαλεῖ. ἷξον.] ἀφίκοντο. ἦλθον. ἕδρας.] τὰ συνέδρια. ἀέκητι.] ἀβουλίᾳ, παρὰ γνώμην. ἐντυνόμενοι.] παρασκευαζόμενοι. ἔπειρον.] περιέπειρον. ἐνύργουν, ὅ ἐστι διεπόρπησαν. γενέσθαι.] γεννηθῆναι. ἵδρυσεν.] ἐκάθισεν. κώεσι.] κωδίοις, δέρμασι προβάτων. ἁλίῃσι.] θαλασσίαις. μοίρας.] μερίδας. δειδισκόμενος.] δεξιούμενος, φιλοφρονούμενος. δαίτης.] εὐωχίας. σπείσῃς.] θύσεις. ἠντήσατε.] ἐπετύχετε. συνηντήσατε. ὁμηλικίη.] ὁ ἥλιξ, συνηλικιώτης.

μολόντες.] ἐλθόντες. προτέρῳ.] πρώτῳ. ἄλεισον.] ἔκπωμα ἐκτετορνευμένον, οἷον εὐάλιον ὑπάρχον ἢ πλατὺ ὅθεν ἐστὶν ἅλις πιεῖν. μεγήρῃς.] φθονήσῃς. ἀμοιβήν.] χάριν, ἔκτισιν. ἀγακλειτῆς.] ἄγαν ἐνδόξου. ὣς δ' αὔτως] οὕτως δέ. τελεύτα.] ἐτελείου. ἐπλήρου. ὑπέρτερα.] τὰ ὑπέρθετα καὶ μείζονα τῶν ἔξωθεν τῶν ἔνδον ἐστὶν ὂν νωτιαῖα, ταῦτα γὰρ ὑπερέχει τῶν λοιπῶν κρεῶν. δασσάμενοι.] μερισάμενοι. κάλλιον.] καλόν. Γερήνιος.] κατὰ μὲν Ἡσίοδον ὁ ἐν Γερήνοις ἀνατραφείς. κρεῖσσον δὲ ἀποδιδόναι ὁ ἔντιμος παρὰ τὸ γέρας. μεταλλῆσαι.] ἐπιζητῆσαι. ἐρέσθαι ἐρωτῆσαι. τάρπησαν.] ἐκορέσθησαν. πλεῖτε.] πλέετε. ἀλάλησθε. πλανᾶσθε.

οἷά τε

Οἷά τε ληϊστῆρες, ὑπεὶρ ἅλα τοί γ' ἀλόωνται,
Ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα
Θαρσήσας, αὐτὴ γὰρ ἐνὶ φρεσὶ θάρσος Ἀθήνη
Θῆχ', ἵνα μιν περὶ πατρὸς ἀποιχομένοιο ἔροιτο,
Ὦ Νέστωρ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
Εἴρεαι ὁππόθεν εἰμέν, ἐγὼ δέ κέ τοι καταλέξω.
Ἡμεῖς ἐξ Ἰθάκης ὑπονηΐου εἰλήλουθμεν,
Πρῆξις δ' ἥδ' ἰδίη, οὐ δήμιος ἣν ἀγορεύσω,
Πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι ἤν που ἀκούσω,
Δίου Ὀδυσσῆος ταλασίφρονος, ὅν ποτέ φασι
Σὺν σοὶ μαρνάμενον Τρώων πόλιν ἐξαλαπάξαι,
Ἄλλους μὲν γὰρ πάντας, ὅσοι Τρωσὶν πολέμιζον,
Πευθόμεθ' ἧχι ἕκαστος ἀπώλετο λυγρῷ ὀλέθρῳ.
Κείνου δ' αὖ καὶ ὄλεθρον ἀπευθέα θῆκε Κρονίων,
Οὐ γάρ τις δύναται σάφα εἰπέμεν ὁππόθ' ὄλωλεν,
Εἴθ' ὅγ' ἐπ' ἠπείρου δάμη ἀνδράσι δυσμενέεσσιν,
Εἴτε καὶ ἐν πελάγει μετὰ κύμασιν Ἀμφιτρίτης,
Τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κε θέλῃσθα
Κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴ που ὄπωπας
Ὀφθαλμοῖσι τεοῖσιν, ἢ ἄλλου μῦθον ἄκουσας
Πλαζομένου, περὶ γάρ μιν ὀϊζυρὸν τέκε μήτηρ,
Μηδέ τί μ' αἰδόμενος μειλίσσεο μηδ' ἐλεαίρων,
Ἀλλ' εὖ μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς.
Λίσσομαι εἴ ποτέ τοί τι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσσεύς,
Ἢ ἔπος, ἠέ τι ἔργον ὑποστὰς ἐξετέλεσσε
Δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί,
Τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἐνίσπε.
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ.
Ὦ φίλ', ἐπεί μ' ἔμνησας ὀϊζύος, ἣν ἐν ἐκείνῳ
Δήμῳ ἀνέτλημεν μένος ἄσχετοι υἷες Ἀχαιῶν,
Ἠμὲν ὅσα ξὺν νηυσὶν ἐπ' ἠεροειδέα πόντον
Πλαζόμενοι κατὰ ληΐδ', ὅπῃ ἄρξειεν Ἀχιλλεύς,
Ἠδ' ὅσα καὶ περὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος
Μαρνάμεθ', ἔνθα δ' ἔπειτα κατέκταθεν ὅσσοι ἄριστοι.
Ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Ἀχιλλεύς,
Ἔνθα δὲ Πάτροκλος θεόφιν μήστωρ ἀτάλαντος,
Ἔνθα δ' ἐμὸς φίλος υἱὸς ἅμα κρατερὸς καὶ ἀμύμων
Ἀντίλοχος, περὶ μὲν θείειν ταχὺς, ἠδὲ μαχητής,
Ἄλλα τε πόλλ' ἐπὶ τοῖς πάθομεν κακά, τίς κεν ἐκεῖνα
Πάντα γε μυθήσαιτο κατὰ θνητῶν ἀνθρώπων,
Οὐδ' εἰ πεντάετές γε καὶ ἑξάετες παραμίμνων,
Ἐξερέοις ὅσα κεῖθι πάθον κακὰ δῖοι Ἀχαιοί.
Πρίν κεν ἀνιηθεὶς σὴν πατρίδα γαῖαν ἵκοιο,
Εἰνάετες γάρ σφιν κακὰ ῥάπτομεν ἀμφιέποντες
Παντοίοισι δόλοισι, μόγις δ' ἐτέλεσσε Κρονίων

Ἔνθ.

οἷά τε ληϊστῆρες.] οὐκ ἄδοξον ἦν παρὰ τοῖς παλαιοῖς τὸ λῃστεύειν, ἀλλ' ἔνδοξον. ληϊστῆρες.] λῃσταί. ὑπεὶρ ἅλα.] κατὰ τὴν θάλασσαν. ἀλόωνται.] πλανῶνται. ψυχὰς παρθέμενοι.] ἀφειδήσαντες ἑαυτῶν παραβαλόντες. ἀλλοδαποῖσιν.] τοῖς ἀλλοφύλοις ξένοις. εἴρεαι.] ἐρωτᾷς. ὑπονηΐου.] τῆς ὑπὸ τὸ Νήϊον ὄρος κειμένης. οὐ δήμιος.] οὐ δημοσία. μετέρχομαι.] ἐπιζητῶ. ταλασίφρονος.] ὑπομονητικοῦ. ἐξαλαπάξαι.] ἐκπορθῆσαι. πευθόμεθα.] ἐμάθομεν. ἠκούσαμεν. λυγρῷ.] χαλεπῷ. ἀπευθέα.] ἀνήκουστον. ἀμφιτρίτης.] τῆς θαλάσσης. λέγεται δὲ οὕτω καὶ ἡ Ποσειδῶνος γυνή. ἱκάνομαι] ἱκετεύω. ἐνισπεῖν.] εἰπεῖν. ὄπωπας.] ἐθεάσω. ἑώρακας. ὀϊζυρόν.] ἐπίπονον, ταλαίπωρον. μειλίσσεο.] μείλιχα, καὶ προσηνῆ λέγε. ὀπωπῆς.] θέας παρὰ τοὺς ὦπας ἢ φωνῆς παρὰ τὴν ὄπα. ὑποστάς.] ὑπομείνας. νῦν ὑποσχόμενος. ἐλεαίρων.] ἐλεῶν. κατάλεξον.] ἕκαστα εἰπέ. ἤντησας.] ἐπήντησας. ἐξετέλεσε.] ἐτελείωσεν. ἐπλήρωσεν.

μνῆσαι.] μνημόνευσον. ἔνισπε.] εἰπέ. ἀνέτλημεν.] ὑπεμείναμεν. μένος ἄσχετοι.] τὴν δύναμιν ἀκατάσχετοι ἀνδρεῖοι. κατὰ ληΐδα.] κατὰ τὴν λείαν διὰ τὴν τῶν λαφύρων κτῆσιν. ὅπῃ.] ὅπου. ἄρξειεν.] ἡγήσοιτο. μαρνάμεθα.] μαχόμεθα. θεόφιν μήστωρ ἀτάλαντος.] θεοῖς ἐν τῷ βουλεύεσθαι ὅμοιος. μυθήσαιτο.] εἴποι. παραμίμνων.] παραμένων. ἐξερέοις.] ἐξερευνήσειας. ἐρωτήσειας. κακὰ ῥάπτομεν.] κακὰ ἐβουλευόμεθα, συνήγομεν, ἐτεχνώμεθα.

ἤθελε.]

Ἔνθ' οὔτίς ποτε μῆτιν ὁμοιωθήμεναι ἄντην
Ἤθελ', ἐπεὶ μάλα πολλὸν ἐνίκα δῖος Ὀδυσσεὺς
Παντοίοισι δόλοισι, πατὴρ τεός, εἰ ἐτεόν γε
Κείνου ἔκγονός ἐσσι, σέβας μ' ἔχει εἰσορόωντα.
Ἦτοι γὰρ μῦθοί γε ἐοικότες, οὐδέ κε φαίης
Ἄνδρα νεώτερον, ὧδε ἐοικότα μυθήσασθαι.
Ἔνθ' ἤτοι εἵως μὲν ἐγὼ καὶ δῖος Ὀδυσσεὺς,
Οὐδέ ποτ' εἰν ἀγορῇ δίχ' ἐβάζομεν, οὔτ' ἐνὶ βουλῇ.
Ἀλλ' ἕνα θυμὸν ἔχοντε νόῳ, καὶ ἐπίφρονι βουλῇ,
Φραζόμεθ' Ἀργείοισιν, ὅπως ὄχ' ἄριστα γένοιτο.
Αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπὴν,
Βῆμεν δ' ἐν νήεσσι, θεὸς δ' ἐσκέδασεν Ἀχαιοὺς,
Καὶ τότε δὴ Ζεὺς λυγρὸν ἐνὶ φρεσὶ μήδετο νόστον
Ἀργείοις, ἐπεὶ οὔτι νοήμονες, οὐδὲ δίκαιοι
Πάντες ἔσαν, τῷ σφέων πολέες κακὸν οἶτον ἐπέσπον,
Μήνιος ἐξ ὀλοῆς γλαυκώπιδος ὀβριμοπάτρης,
Ἥ τ' ἔριν Ἀτρείδῃσι μετ' ἀμφοτέροισιν ἔθηκεν.
Τὼ δὲ καλεσσαμένω ἀγορὴν ἐς πάντας Ἀχαιοὺς
Μὰψ, ἀτὰρ οὐ κατὰ κόσμον ἐς ἠέλιον καταδύντα.
Οἱ δ' ἦλθον οἴνῳ βεβαρηότες υἷες Ἀχαιῶν,
Μῦθον μυθείσθην, τοῦ εἵνεκα λαὸν ἄγειραν,
Ἔνθ' ἤτοι Μενέλαος ἀνώγει πάντας Ἀχαιοὺς,
Νόστου μιμνήσκεσθαι ἐπ' εὐρέα νῶτα θαλάσσης,
Οὐδ' Ἀγαμέμνονι πάμπαν ἑήνδανε, βούλετο γὰρ ῥα
Λαὸν ἐρυκακέειν, ῥέξαι θ' ἱερὰς ἑκατόμβας,
Ὡς τὸν Ἀθηναίης δεινὸν χόλον ἐξακέσαιτο
Νήπιος, οὐδὲ τὸ ᾔδη, ὃ οὐ πείσεσθαι ἔμελλεν,
Οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων.
Ὣς τὼ μὲν χαλεποῖσιν ἀμειβομένω ἐπέεσσιν
Ἕστασαν, οἱ δ' ἀνόρουσαν ἐϋκνήμιδες Ἀχαιοὶ,
Ἠχῇ θεσπεσίῃ, δίχα δὲ σφίσιν ἥνδανε βουλή,
Νύκτα μὲν ἀέσαμεν χαλεπὰ φρεσὶν ὁρμαίνοντες
Ἀλλήλοις, ἐπὶ γὰρ Ζεὺς ἤρτυε πῆμα κακοῖο.
Ἠῶθεν δ' οἱ μὲν νέας ἕλκομεν εἰς ἅλα δῖαν,
Κτήματά τ' ἐντιθέμεσθα, βαθυζώνους τε γυναῖκας.
Ἡμίσεες δ' ἄρα λαοὶ ἐρητύοντο μένοντες
Αὖθι παρ' Ἀτρείδῃ Ἀγαμέμνονι ποιμένι λαῶν,
Ἡμίσεες δ' ἀναβάντες ἐλαύνομεν, αἱ δὲ μάλ' ὦκα
Ἔπλεον, ἐστόρεσεν δὲ θεὸς μεγακήτεα πόντον,
Ἐς Τένεδον δ' ἐλθόντες, ἐρέξαμεν ἱερὰ θεοῖσιν
Οἴκαδε ἱέμενοι, Ζεὺς δ' οὔπω μήδετο νόστον,
Σχέτλιος, ὅς ῥ' ἔριν ὦρσε κακὴν ἐπὶ δεύτερον αὖτις.
Οἱ μὲν ἀποστρέψαντες ἔβαν νέας ἀμφιελίσσας,
Ἀμφ' Ὀδυσῆα ἄνακτα δαΐφρονα ποικιλομήτην,
Αὖτις ἐπ' Ἀτρείδῃ Ἀγαμέμνονι ἦρα φέροντες.
Αὐτὰρ ἐγὼ σὺν νηυσὶν ἀολλέσιν αἵ μοι ἕποντο

φεῦγον

ἤθελε.] ἠδύνατο. ἔκγονος.] παῖς. σέβας.] ἔκπληξις. μῦθοι.] λόγοι. φαίης.] εἴποις. ἀντὶ τοῦ, εἴποι τὶς ἄν. δίχ' ἐβάζομεν.] ἐδιχονοοῦμεν, ἐλέγομεν. εἵως.] ἐφ' ὃν χρόνον. βουλῇ.] σκέψει, γνώμῃ. ἕνα θυμὸν ἔχοντες.] ὁμονοοῦντες. ἐπίφρονι.] συνετῇ. φραζόμεσθα.] ἐβουλευόμεθα.

διεπέρσαμεν.] παντελῶς ἐπορθήσαμεν. βῆμεν.] ἔβημεν, ἀπήλθομεν. σφῶν.] αὐτῶν. ἐπέσπον.] ἐπλήρωσαν. μήνιος ἐξ ὀλοῆς.] ἐπεὶ Αἴαντα τὸν Λοκρὸν οὐκ ἐκόλασαν βιασάμενον ἐν τῷ ἱερῷ αὐτῆς Κασσάνδραν. μήνιος.] ὀργῆς. καλεσσαμένω.] καλέσαντες. μυθείσθην.] ἔλεγον. ἄγειραν.] συνήθροισαν. ἐρυκακέειν.] κατασχεῖν κωλῦσαι. ἐξακέσαιτο.] θεραπεύσειεν, ἰάσαιτο. πείσεσθαι.] ἐπείσεσθαι. τρέπεται.] μεταβάλλεται.

ἀμειβομένω.] ἐξ ἀμοιβῆς ἀλλήλοις ἀποκρινόμενοι. ἕστασαν.] ἀντὶ τοῦ διέστησαν. ἀνόρουσαν.] ἀνώρμησαν. ἀέσαμεν.] ἀνεπαυσάμεθα, ἐκοιμήθημεν ἢ διενυκτερεύσαμεν, ἐμείναμεν. ὁρμαίνοντες.] ἐνθυμούμενοι, βουλευόμενοι. ἤρτυε.] παρεσκεύαζεν. ἐρητύοντο.] ἔμειναν οἰκείᾳ τῇ βουλῇ. ἐστόρεσεν.] ἔστρωσεν, γαλήνην ἐποίησεν. ἡμίσεες.] ἡμίσεις. ἐρέξαμεν.] ἐπράξαμεν, ἐθύσαμεν. μεγακήτεα.] μεγάλα κήτη ἔχοντα. ἦρα.] ἐπιθυμητά.

μετὰ

μετὰ νῶιν.] ὡς πρὸς ἡμᾶς μεθ' ἡμᾶς. Λέσβῳ.] Λέσβος. νῆσος τροίας ἔχουσα πόλεις. πύρραν, ἔρεσον. Μιτυλήνην, Μήθυμναν. Ἄντισσαν. ἔκιχεν.] κατέλαβεν. δολιχὸν πλόον ὁρμαίνοντας.] διανοουμένους περὶ μακροῦ πλοῦ. καθύπερθεν.] ὑπεράνωθεν. νεοίμεθα.] πορευοίμεθα. ἀντὶ τοῦ πλέοιμεν. παιπαλοέσσης.] τραχείας. νήσου. ἐπὶ ψυρίης.] νησίδιον ἐστὶ λυπρὸν ἀπέχον σταδίους π. τῆς Χίου. ὃ καὶ αἰγιαλὸν ἔχει ἐν ᾧ ἐστι λιμὴν ἐκδεχόμενος ἀπὸ τοῦ Αἰγαίου πελάγους ταρασσομένας τὰς ναῦς. μέμνηται Δημοσθένης. κεῖται ἡ νῆσος Χίος μέση τοῦ ψυρῶν καὶ τοῦ Μίμαντος. παρ' ἠνεμόεντα Μίμαντα. Μίμας ὄρος ἀντικρὺ Χίου τῆς νήσου ἀπὸ Μίμαντος ἑνὸς τῶν γιγάντων ὀνομασθέν. αὐτὴν ἐπ' ἀριστερ' ἔχοντες.] τὴν Χίον λέγει. ἠνεμόεντα.] ἀνέμοις καταπνεόμενον. κατήνεμον, ὑψηλόν. ὑπένερθεν.] ὑποκάτωθεν. Μίμαντα.] ὁ Μίμας ὄρος ἐρυθρὸν ἀντικρὺ Χίου. ἠτέομεν.] ᾐτοῦμεν, παρεκαλοῦμεν. φῆναι.] δεῖξαι. ἠνώγει.] ἐκέλευεν. πέλαγος μέσον.] τὴν τούτων μέσην ὁδόν. Εὔβοιαν.] νῆσον ἐγγὺς Ἀθηνῶν. τέμνειν.] διαπερᾶν. κακότητα.] τὸν κίνδυνον. τὴν κακίαν. οὖρος πόμπιμος, ἄνεμος. ἀήμεναι. πνεῖν, φυσᾶν. ἰχθυόεντα κέλευθα.] τὴν θάλασσαν λέγει. Γεραιστόν.] Γεραιστὸς λιμὴν Εὐβοίας. ἐννύχιαι.] νυκτεριναί. ὑπὸ νύκτα. μετρήσαντες.] διελθόντες διαπεράσαντες, οὐριοδρομήσαντες. ἔσβη.] ἐσβέσθη. ἐπαύσατο. ἀῆναι.] πνεῦσαι. φίλε τέκνον.] ἤτοι πρὸς τὸ σημαινόμενον ἀπήντησε. φίλος γὰρ τὸ τέκνον οὐδέτερον. ἢ πρὸς τὸ συνώνυμον τὸ παῖς. ἀπευθής.] μηδὲν πυνθανόμενος ἢ ἀκούσας. σάωθεν.] ἐσώθησαν. πεύθομαι.] πυνθάνομαι, ἀκούω. ἣ θέμις.] ὡς δίκαιον, ὡς ὁ νόμος. δαήσεαι. μαθήσῃ. πόντος δέ οἱ οὔτιν' ἀπηύρα.] οὐκ ἀπέλαυσεν ὁ πόντος τινός, ὥστε οὐ κατεπόντισέν τινα. κεύσω.] κρύψω. εὖ μὲν Μυρμιδόνας.] οἱ νεώτεροι τὸν Νεοπτόλεμον εἰς τὴν Ἤπειρον ἐλθεῖν λέγουσι. μήσατο.] διεπράξατο, εἰργάσατο. σμυγερῶς.] ἐπιπόνως, τὸ μέτρον μετήλλακται. αἰολικῶς δὲ ἐστιν ἐπιπόνως. καταφθιμένοιο.] ἀποθανόντος. λιπέσθαι.] καταλειφθῆναι. αἲ γὰρ ἐμοί.] εἴθε γὰρ ἐμοί. ὑπερβασίης.] ὑπερηφανίας. ἐπέκλωσαν.] εἱμαρμένον γενέσθαι ἐποίησαν. ὄλβον.] εὐδαιμονίαν. τετλάμεν.] καρτερεῖν.

Φεῦγον, ἐπεὶ γίνωσκον ὃ δὴ κακὰ μήδετο δαίμων,
Φεῦγε δὲ Τυδέος υἱὸς ἀρήϊος, ὦρσε δ' ἑταίρους,
Ὀψὲ δὲ δὴ μετὰ νῶϊ κίε ξανθὸς Μενέλαος,
Ἐν Λέσβῳ δ' ἔκιχε δολιχὸν πλόον ὁρμαίνοντας,
Ἢ καθύπερθε Χίοιο νεοίμεθα παιπαλοέσσης,
Νήσου ἔπι Ψυρίης, αὐτὴν ἐπ' ἀριστερ' ἔχοντες,
Ἢ ὑπένερθε Χίοιο παρ' ἠνεμόεντα Μίμαντα,
Ἠτέομεν δὲ θεὸν φῆναι τέρας, αὐτὰρ ὅγ' ἡμῖν
Δεῖξε, καὶ ἠνώγει πέλαγος μέσον εἰς Εὔβοιαν
Τέμνειν, ὄφρα τάχιστα ὑπὲκ κακότητα φύγοιμεν,
Ὦρτο δ' ἐπιλιγὺς οὖρος ἀήμεναι, αἱ δὲ μάλ' ὦκα
Ἰχθυόεντα κέλευθα διέδραμον, ἐς δὲ Γεραιστὸν
Ἐννύχιαι κατάγοντο, Ποσειδάωνι δὲ ταύρων
Πόλλ' ἐπὶ μῆρ' ἔθεμεν, πέλαγος μέγα μετρήσαντες,
Τέτρατον ἦμαρ ἔην ὅτ' ἐν Ἀργεῒ νῆας ἐΐσας
Τυδείδεω ἕταροι Διομήδεος ἱπποδάμοιο
Ἔστασαν, αὐτὰρ ἔγωγε Πύλον δ' ἔχον, οὐδέ ποτ' ἔσβη
Οὖρος, ἐπειδὴ πρῶτα θεὸς προέηκεν ἀῆναι.
Ὣς ἦλθον φίλε τέκνον ἀπευθής, οὐδέ τι οἶδα
Κείνων οἵ τ' ἐσάωθεν Ἀχαιῶν, οἵ τ' ἀπόλοντο,
Ὅσσα δ' ἐνὶ μεγάροισι καθήμενος ἡμετέροισι
Πεύθομαι, ἣ θέμις ἐστὶ δαήσεαι, οὐδέ σε κεύσω,
Εὖ μὲν Μυρμιδόνας φάσ' ἐλθέμεν ἐγχεσιμώρους,
Οὓς ἄγ' Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱός,
Εὖ δὲ Φιλοκτήτην Ποιάντιον ἀγλαὸν υἱόν,
Πάντας δ' Ἰδομενεὺς Κρήτην εἰσήγαγ' ἑταίρους,
Οἳ φύγον ἐκ πολέμου, πόντος δέ οἱ οὔ τιν' ἀπηύρα.
Ἀτρείδην δὲ καὶ αὐτοὶ ἀκούετε νόσφιν ἐόντες,
Ὥς τ' ἦλθ', ὥς τ' Αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον,
Ἀλλ' ἤτοι κεῖνος μὲν ἐπισμυγερῶς ἀπέτισεν,
Ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι
Ἀνδρός, ἐπεὶ καὶ κεῖνος ἐτίσατο πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα κλυτὸν ἔκτα.
Καὶ σὺ φίλος, μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε,
Ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ὦ Νέστορ νηληϊάδη μέγα κῦδος Ἀχαιῶν.
Καὶ λίην κεῖνος μὲν ἐτίσατο, καί οἱ Ἀχαιοὶ
Οἴσουσι κλέος εὐρὺ καὶ ἐσσομένοισιν ἀοιδήν,
Αἲ γὰρ ἐμοὶ τοσσήνδε θεοὶ δύναμιν περιθεῖεν
Τίσασθαι μνηστῆρας ὑπερβασίης ἀλεγεινῆς,
Οἵ τέ μοι ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται,
Ἀλλ' οὔ μοι τοιοῦτον ἐπέκλωσαν θεοὶ ὄλβον
Πατρί τ' ἐμῷ καὶ ἐμοί, νῦν δὲ χρὴ τετλάμεν ἔμπης.

μηχανάασθαι,

Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Ὦ φίλ', ἐπειδὴ ταῦτά μ' ἀνέμνησας καὶ ἔειπες,
Φασὶ μνηστῆρας σῆς μητέρος εἵνεκα πολλοὺς
Ἐν μεγάροις ἀέκητι σέθεν κακὰ μηχανάασθαι,
Εἰπέ μοι ἠὲ ἑκὼν ὑποδάμνασαι, ἦ σέ γε λαοὶ
Ἐχθαίρουσ' ἀνὰ δῆμον ἐπισπόμενοι θεοῦ ὀμφῇ,
Τίς δ' οἶδ' εἴ κέ ποτέ σφι βίας ἀποτίσεται ἐλθών,
Ἢ ὅ γε μοῦνος ἐών, ἢ καὶ σύμπαντες Ἀχαιοί,
Εἰ γάρ σ' ὣς ἐθέλοι φιλέειν γλαυκῶπις Ἀθήνη,
Ὡς τότ' Ὀδυσσῆος περικήδετο κυδαλίμοιο
Δήμῳ ἐνὶ Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί,
Οὐ γάρ πω ἴδον ὧδε θεοὺς ἀναφανδὰ φιλεῦντας
Ὡς κείνῳ ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη.
Εἴ σ' οὕτως γ' ἐθέλοι φιλέειν, κήδοιτό τε θυμῷ,
Τῶ κέν τις κείνων γε καὶ ἐκλελάθοιτο γάμοιο.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ὦ γέρον οὔπω τοῦτο ἔπος τελέεσθαι ὀΐω,
Λίην γὰρ μέγα εἶπες, ἄγη μ' ἔχει, οὐδ' ἂν ἔμοιγε
Ἐλπομένῳ τὰ γένοιτ' οὐδ' εἰ θεοὶ ὣς ἐθέλοιεν.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Τηλέμαχε, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
Ῥεῖα θεός κ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι.
Βουλοίμην δὲ ἔγωγε καὶ ἄλγεα πολλὰ μογήσας,
Οἴκαδέ τ' ἐλθέμεναι, καὶ νόστιμον ἦμαρ ἰδέσθαι,
Ἢ ἐλθὼν ἀπολέσθαι ἐφέστιος, ὡς Ἀγαμέμνων
Ὤλεθ' ὑπ' Αἰγίσθοιο δόλῳ, καὶ ἧς ἀλόχοιο,
Ἀλλ' ἤτοι θάνατον μὲν ὁμοίιον οὐδὲ θεοί περ
Καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν, ὁππότε κεν δὴ
Μοῖρ' ὀλοιὴ καθέλῃσι τανηλεγέος θανάτοιο.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Μέντορ, μηκέτι ταῦτα λεγώμεθα κηδόμενοί περ,
Κείνῳ δ' οὐκ ἔτι νόστος ἐτήτυμος, ἀλλά οἱ ἤδη
Φράσαντ' ἀθάνατοι θάνατον καὶ κῆρα μέλαιναν.
Νῦν δ' ἐθέλω ἔπος ἄλλο μεταλλῆσαι, καὶ ἐρέσθαι
Νέστορ', ἐπεὶ περίοιδε δίκας, ἠδὲ φρόνιν ἄλλων,
Τρὶς γὰρ δή μιν φασὶν ἀνάξασθαι γένε' ἀνδρῶν,
Ὥς τέ μοι ἀθανάτοις ἰνδάλλεται εἰσοράασθαι,
Ὦ Νέστορ Νηληϊάδη, σὺ δ' ἀληθὲς ἔνισπε.
Πῶς ἔθαν' Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων,
Ποῦ Μενέλαος ἔην, τίνα δ' αὐτῷ μήσατ' ὄλεθρον
Αἴγισθος δολόμητις, ἐπεὶ κτάνε πολλὸν ἀρείω,
Ἦ οὐκ Ἄργεος ἦεν Ἀχαιικοῦ, ἀλλά πῃ ἄλλῃ
Πλάζετ' ἐπ' ἀνθρώπους, ὁ δὲ θαρσήσας κατέπεφνε.
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ,
Τοιγὰρ ἐγώ τοι τέκνον ἀληθέα πάντ' ἀγορεύσω.
Ἤτοι μὲν τόδε κ' αὐτὸς ὀΐεαι ὥς κεν ἐτύχθη,

Εἰ ζωόν

μηχανάασθαι.] ἐπινοεῖν. ὑποδάμνασαι.] ὑποτέταξαι. ἐχθαίρουσι.] μισοῦσιν.] ἐπισπόμενοι.] ἀκολουθοῦντες καὶ πειθόμενοι. ὀμφῇ.] χρησμῷ, κληδόνι, μαντείᾳ. ἀναφανδά.] ἐκ τοῦ φανεροῦ, φανερῶς. φιλεῦντας.] φιλοῦντας. κήδοιτο.] φροντίζοι. ἐκλελάθοιτο.] ἐπιλάθοιτο. σαῶσαι.] σῶσαι, ἀντὶ τοῦ σώσει. ἐφέστιος.] ἐπὶ τῆς ἑαυτοῦ ἑστίας εἰς τὴν ἰδίαν οἰκίαν. ὁμοίιον.] τὸν ὁμοίως ἐπὶ πάντας κατὰ φύσιν ἐρχόμενον. μοῖρα.] θανατικὴ ἀνάγκη. λεγώμεθα.] διαλεγώμεθα. κηδόμενοί περ] καίπερ λυπούμενοι. ἐτήτυμος.] ἀληθής. φράσσαντο.] ἐβουλεύσαντο. δίκας.] δίκαια, καθήκοντα. φρόνιν.] φρόνησιν. ἀνάξεσθαι.] βασιλεῦσαι. ἰνδάλλεται.] ὁμοιοῦται, φαίνεται, φαντασιοῦται. εἰσοράασθαι.] ὁρᾶν, ἀντὶ τοῦ ὁρῶντι, βλέποντι. δολόμητις.] δολίως βουλευσάμενος. μήσατο.] εἰργάσατο. ἐτεχνάσατο. κτάνε.] ἀνεῖλεν, ἐφόνευσεν. ἀρείω.] βελτίονα. ἦ οὐκ Ἄργεος ἦεν Ἀχαιικοῦ.] ἆρα οὐκ ἐν τῷ Ἄργει ἦν τῷ Ἀχαιικῷ. κατέπεφνεν.] ἀνεῖλεν. ἀγορεύσω.] λέξω. εἴπω. Τροίηθεν.] ἀπὸ τῆς Τροίας.

ἐτετμένα

CC 4

Εἰ ζώοντ' Αἴγισθον ἐνὶ μεγάροισιν ἔτετμεν
Ἀτρείδης Τροίηθεν ἰὼν ξανθὸς Μενέλαος,
Τῷ κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
Ἀλλ' ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν,
Κείμενον ἐν πεδίῳ ἑκὰς Ἄργεος, οὐδέ κέ τίς μιν
Κλαῦσεν Ἀχαιϊάδων, μάλα γὰρ μέγα μήσατο ἔργον.
Ἡμεῖς μὲν γὰρ κεῖθι πολέας τελέοντες ἀέθλους,
Ἥμεθ', ὁ δ' εὔκηλος μυχῷ Ἄργεος ἱπποβότοιο,
Πόλλ' Ἀγαμεμνονέην ἄλοχον θέλγεσκ' ἐπέεσσιν,
Ἡ δ' ἤτοι τὸ πρὶν μὲν ἀναίνετο ἔργον ἀεικὲς
Δῖα Κλυταιμνήστρη, φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσι,
Πὰρ γὰρ ἔην καὶ ἀοιδὸς ἀνὴρ, ᾧ πόλλ' ἐπέτελλεν
Ἀτρείδης, Τροίηνδε κιὼν εἴρυσθαι ἄκοιτιν,
Ἀλλ' ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι,
Δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην,
Κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κύρμα γενέσθαι,
Τὴν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε.
Πολλὰ δὲ μηρί' ἔκηε θεῶν ἱεροῖς ἐπὶ βωμοῖς.
Πολλὰ δ' ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε χρυσόν τε,
Ἐκτελέσας μέγα ἔργον ὃ οὔποτε ἔλπετο θυμῷ.
Ἡμεῖς μὲν γὰρ ἅμα πλέομεν Τροίηθεν ἰόντες
Ἀτρείδης καὶ ἐγὼ φίλα εἰδότες ἀλλήλοισιν.
Ἀλλ' ὅτε Σούνιον ἱρὸν ἀφικόμεθ' ἄκρον Ἀθηνῶν,
Ἔνθα κυβερνήτην Μενελάου Φοῖβος Ἀπόλλων
Οἷς ἀγανοῖσι βελέεσσιν ἐποιχόμενος κατέπεφνε,
Πηδάλιον μετὰ χερσὶ θεούσης νηὸς ἔχοντα
Φρόντιν Ὀνητορίδην, ὃς ἐκαίνυτο φῦλ' ἀνθρώπων
Νῆα κυβερνῆσαι, ὁπότε σπέρχοιεν ἄελλαι.
Ὣς ὁ μὲν ἔνθα κατέσχετ' ἐπειγόμενός περ ὁδοῖο.
Ὄφρ' ἕταρον θάπτοι, καὶ ἐπὶ κτέρεα κτερίσειεν.
Ἀλλ' ὅτε δὴ καὶ κεῖνος ἰὼν ἐπὶ οἴνοπα πόντον
Ἐν νηυσὶ γλαφυρῇσι Μαλειάων ὄρος αἰπὺ,
Ἷξε θέων, τότε δὴ στυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
Ἐφράσατο, λιγέων δ' ἀνέμων ἐπ' ἀϋτμένα χεῦε,
Κύματά τε τροφόεντα πελώρια ἶσα ὄρεσσιν,
Ἔνθα διατμήξας, τὰς μὲν Κρήτῃ ἐπέλασσεν,
Ἧχι Κύδωνες ἔναιον Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
Ἔστι δέ τις λισσὴ αἰπεῖά τε εἰς ἅλα πέτρη
Ἐσχατιῇ Γόρτυνος ἐν ἠεροειδέϊ πόντῳ.
Ἔνθα νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ
Ἐς Φαιστὸν, μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει.

Αἱ μὲν

ἔτετμεν.] κατέλαβεν. χυτήν.] τὴν ἐπιχεομένην τοῖς νεκροῖς γῆν. οἰωνοί.] σαρκοφάγοι ὄρνιθες. κατέδαψαν.] κατέφαγον. μέγα μήσατο ἔργον.] νῦν μέγα καὶ χαλεπὸν ἐβουλεύσατο. ὃ ἐστὶν ἔργον χαλεπὸν ἐμηχανήσατο. τελέοντες.] ἐκτελοῦντες. μυχῷ Ἄργεος.] τῷ ἐσωτάτῳ μέρει τοῦ Ἄργους.

θέλγεσκε.] ἠπάτα. ἔργον ἀεικές.] τὴν μοιχείαν. δῖα Κλυταιμνήστρη.] δῖα, εὐγενὴς, πρὸ τοῦ μοιχευθῆναι. φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσι.] φρεσὶν ἀγαθαῖς. πὰρ δ' ἄρ' ἔην καὶ ἀοιδός.] συμπαρῆν δὲ αὐτῇ καὶ ἀοιδὸς, τὸ γὰρ ἀρχαῖον οἱ ἀοιδοὶ φιλοσόφων τάξιν ἐπεῖχον, τινὲς δὲ κακῶς νοήσαντες τὸν εὐνοῦχον ἀπέδοσαν. εἴρυσθαι.] φυλάττειν. κύρμα.] ἐγκύρημα, ἐπίταγμα. ἔκηε.] ἔκαυσεν. ἀγάλματα.] ἱμάτια ὑφαντά. ἔλπετο.] ἤλπιζεν. Σούνιον.] ἀκρωτήριον τῆς Ἀττικῆς.

ἱρόν.] ἱερὸν τίμιον. ἀφικόμεθα.] παραγενόμεθα. ἄκρον Ἀθηναίων.] ἀπὸ τῆς πόλεως τὴν Ἀττικὴν εἴρηκεν. Φρόντιν Ὀνητορίδην.] παρὰ τὸ φροντίζειν καὶ ὄνησιν εἶναι πέπλακε τὰ ὀνόματα. ἐκαίνυτο.] ἐνίκα. κυρίως δὲ τὸ καίνυσθαι τὸν κτείναντα νικῆσαι. καίνειν γὰρ τὸ φονεύειν ἐστὶ, τὸ δὲ σπέρχοιεν ἀντὶ τοῦ κατεπείγοιεν. κατέσχετο.] ἐν λιμένι κατεσχέθη. κτερίσειεν.] ἐνταφιάσῃ. Μαλειάων.] ὄρος. τὴν Μαλέαν λέγει τὸ ἀκρωτήριον τῆς Λακωνικῆς. ἐφράσσατο.] ἐβουλεύσατο. ἀϋτμένα.] ἀρρενικῶς τὸν ἀϋτμένα ἀπὸ ὀρθῆς τῆς ἀϋτμὴν, ἀϋτμὴ γὰρ ἡ πνοὴ ἡ σφοδρά. χεῦε.] ἔβαλεν. τροφέοντο.] ηὐξάνοντο. πελώρια.] μεγάλα. Κύδωνες.] ἔθνος Κρήτης, καὶ Κυδωνὶς πόλις Κρήτης, ποταμὸν ἔχουσα Ἰάρδανον. ἔστι δέ τις λισσή.] λεία πέτρα ἢ κατὰ μεταπλασμὸν εἶπεν τὸ νῦν καλούμενον παρὰ τοῖς Κρησὶ σὺν τῷ β. Βλίσση. ἔστι δὲ ἀκρωτήριον τῆς Γορτυνίας. ὅθεν Κράτης σὺν τῷ ι γράφει Λισσήν. ἐσχατιῇ.] ἐπὶ τοῖς ἐσχάτοις. σκαιόν.] δεινὸν, χαλεπόν. Φαιστόν.] ἀκρωτήριον τῆς Γορτυνίας. ἀπὸ μὲν τῶν πολλῶν κυμάτων λίαν ἐπικλυζόμενον, καὶ εἰ βραχεῖά τις αὔρα γένηται. ἀπὸ δὲ μεσημβρίας οὐδὲ ὅλως. καίτοι δὲ νότου μέγιστα ἐγείροντος κύματα. διὰ τὸ κατὰ τοῦτο τὸ μέρος προεχούσαις εἰς θάλασσαν πέτραις περιθραύεσθαι τὰ κύματα, τινὲς δὲ τὴν Φαιστὸν πόλιν τῆς Κρήτης λέγουσι. μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει.] τὸ γὰρ ὑπὸ τοῦ νότου κῦμα τὴν Φαιστὸν ἂν ἐποίει ἀλίμενον εἰ μὴ προκείμενος ὁ λίθος ἐκώλυεν ἐντὸς μέγα γίγνεσθαι κῦμα προκαταγνυμένων περὶ αὐτὸν τῶν κυμάτων. γράφεται καὶ Μαλίου δὲ λίθος. Μάλιον γὰρ ὀνομάζεται πρὸ τοῦ Φαιστίων λιμένος ἀκρωτήριον. ἀποέργει.] ἀποκωλύει.

ἤλυξαν.]

Αἱ μὲν ἄρ᾽ ἔνθ᾽ ἦλθον, σπουδῇ δ᾽ ἤλυξαν ὄλεθρον
Ἄνδρες, ἀτὰρ νῆάς γε ποτὶ σπιλάδεσσιν ἔαξαν
Κύματ᾽, ἀτὰρ τὰς πέντε νέας κυανοπρῳρείους,
Αἰγύπτῳ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ.
Ὣς ὁ μὲν ἔνθα πολὺν βίοτον καὶ χρυσὸν ἀγείρων,
Ἠλᾶτο ξὺν νηυσὶν ἐπ᾽ ἀλλοθρόους ἀνθρώπους.
Τόφρα δὲ ταῦτ᾽ Αἴγισθος ἐμήσατο οἴκοθι λυγρὰ,
Κτείνας Ἀτρείδην, δέδμητο δὲ λαὸς ὑπ᾽ αὐτῷ.
Ἑπτάετες δ᾽ ἤνασσε πολυχρύσοιο Μυκήνης.
Τῷ δέ οἱ ὀγδοάτῳ κακὸν ἤλυθε δῖος Ὀρέστης,
Αἶψ᾽ ἀπ᾽ Ἀθηναίων κατὰ δ᾽ ἔκτανε πατροφονῆα,
Αἴγισθον δολόμητιν ὅς οἱ πατέρα κλυτὸν ἔκτα,
Ἤτοι ὁ τὸν κτείνας, δαίνυ τάφον Ἀργείοισιν,
Μητρός τε στυγερῆς καὶ ἀνάλκιδος Αἰγίσθοιο.
Αὐτῆμαρ δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
Πολλὰ κτήματ᾽ ἄγων, ὅσα οἱ νέες ἄχθος ἄειραν,
Καὶ σὺ φίλος μὴ δηθὰ δόμων ἄπο τῆλ᾽ ἀλάλησο.
Κτήματά τε προλιπὼν, ἄνδρας τ᾽ ἐν σοῖσι δόμοισιν
Οὕτω ὑπερφιάλους, μή τοι κατὰ πάντα φάγωσι
Κτήματα δασσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθῃς,
Ἀλλ᾽ ἐς μὲν Μενέλαον ἐγὼ κέλομαι καὶ ἄνωγα
Ἐλθεῖν, κεῖνος γὰρ νέον ἄλλοθεν εἰλήλουθεν,
Ἐκ τῶν ἀνθρώπων, ὅθεν οὐκ ἔλποιτό γε θυμῷ
Ἐλθέμεν, ὅν τινα πρῶτον ἀποσφήλωσιν ἄελλαι,
Ἐς πέλαγος μέγα τοῖον, ὅθεν τέ περ οὐδ᾽ οἰωνοὶ
Αὐτόετες οἰχνεῦσιν, ἐπεὶ μέγα τε δεινόν τε,
Ἀλλ᾽ ἴθι νῦν σὺν νηΐ τε σῇ καὶ σοῖς ἑτάροισιν,
Εἰ δὲ θέλεις πεζὸς, πάρα τοι δίφρος τε καὶ ἵπποι,
Πὰρ δέ τοι υἷες ἐμοὶ, οἵ τοι πομπῆες ἔσονται.
Ἐς Λακεδαίμονα δῖαν, ὅθι ξανθὸς Μενέλαος.
Λίσσεσθαι δέ μιν αὐτὸν, ἵνα νημερτὲς ἐνίσπῃ,
Ψεῦδος δ᾽ οὐκ ἐρέει, μάλα γὰρ πεπνυμένος ἐστίν.
Ὣς ἔφατ᾽, ἠέλιος δ᾽ ἄρ᾽ ἔδυ καὶ ἐπὶ κνέφας ἦλθε.
Τοῖσι δὲ καὶ μετέειπε θεὰ γλαυκῶπις Ἀθήνη.
Ὦ γέρον ἤτοι ταῦτα κατὰ μοῖραν κατέλεξας,
Ἀλλ᾽ ἄγε τάμνετε μὲν γλώσσας, κεράασθε δὲ οἶνον,
Ὄφρα Ποσειδάωνι καὶ ἄλλοις ἀθανάτοισι
Σπείσαντες, κοίτοιο μεδώμεθα, τοῖο γὰρ ὥρη.
Ἤδη γὰρ φάος οἴχεθ᾽ ὑπὸ ζόφον, οὐδὲ ἔοικε
Δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.
Ἦ ῥα Διὸς θυγάτηρ, τοὶ δ᾽ ἔκλυον αὐδησάσης.
Τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο,
Νώμησαν δ᾽ ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσι.
Γλώσσας δ᾽ ἐν πυρὶ βάλλον ἀνιστάμενοι δ᾽ ἐπέλειβον.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ᾽, ἔπιόν θ᾽ ὅσον ἤθελε θυμὸς,

Δὴ τότ᾽

ἤλυξαν.] διέφυγον. σπιλάδεσσι.] παραλίοις πέτραις, παρὰ τὸ ἐσπιλῶσθαι. ἢ ταῖς κατὰ θάλασσαν περιειλημμέναις ἐν ὀλίγῳ ὕδατι. ἔαξαν.] ἔκλασαν.

ἠλᾶτο.] ἐπλανᾶτο. δέδμητο.] ὑπετέτακτο. ἂψ ἀπ᾽ Ἀθηναίων.] ὅπου ἐπαιδεύετο.] τόν.] ἤτοι τὸν Αἴγισθον. δαίνυ.] κατεσκεύασε. μητρός τε στυγερῆς.] φείδεται διὰ τούτων τοῦ Ὀρέστου. τὸ μὲν γὰρ εὐφημότερον ἐποίησεν ὅτι ἔθαψε τὴν μητέρα, τὸν δὲ θάνατον παρεσιώπησεν. ἀνάλκιδος.] ἀσθενοῦς. ἄειραν.] ἐβάστασαν. ἀλάλησο.] πλανῶ. προλιπών.] καταλιπών. τηϋσίην.] ματαίαν.

εἰλήλουθεν.] ἦλθεν. ἐκ τῶν.] ἐξ ἐκείνων. ἔλποιτο.] ἤλπιζεν. ἀποσφήλωσιν.] ἀποκρουσθῆναι καὶ ἀποσφαλῆναι ποιήσωσιν. αὐτόετες.] ἐν αὐτῷ τῷ ἔτει. οἰχνεῦσι.] παραγίγνονται. πάρα τοι.] πάρεστί σοι.

πομπῆες.] προπομποί. δῖαν.] εὐδαίμονα. ἐνίσπῃ.] εἴπῃ. τάμνετε μὲν γλώσσας.] ἔθος ἦν ἐρχομένοις πρὸς τὸ καθεύδειν, τῶν ἱερείων τὰς γλώσσας ἀποτέμνειν καὶ καίειν τοῖς θεοῖς, τοὺς λόγους ἐπιμελομένοις. διὸ καὶ ἐνταῦθα μόνης τῆς Νέστορος θυσίας εἴρηται τὸ ἔθος. εὔηθες γὰρ τὸ λέγειν σύν τε μετὰ τοὺς λόγους. λέγεται δὲ Ἀττικὸν εἶναι τὸ ἔθος, λαβόντων τὴν ἀρχὴν ἐντεῦθεν. κεράασθε.] ἀντὶ τοῦ κιρνᾶτε. κοίτοιο.] κοίτης ὅ ἐστιν ὕπνου. ζόφον.] τὸ σκότος. οὐδὲ ἔοικεν.] οὐ πρέπον ἐστίν.

θαασσέμεν.] καθίσαι, διατρῖψαι.

αὐδησάσης.] εἰπούσης.

ἔχευαν.]

ἱέσθην.] ὥρμησαν. καθαπτόμενος.] φιλοφρονούμενος. Ζεὺς τόγ' ἀλεξήσειε.] τὸ ὑμᾶς χωρισθῆναι ἀπ' ἐμοῦ ὡς τινὸς πενιχροῦ ἢ ἀνελευθέρου. ἀλεξήσειε.] ἀπείρξειε, κωλύσειεν. κίοιτε.] ἀπέλθοιτε. ἀνείμονος.] μὴ κεκτημένου ἱμάτια. ῥήγεα.] βαπτὰ ἱμάτια καὶ περιβόλαια. ῥῆξαι γὰρ οἱ ἀρχαῖοι ἔλεγον τὸ βάψαι. μαλακῶς.] ἁπαλῶς ἀντὶ τοῦ ἐν ἁπαλοῖς. πάρα.] πάρεισιν. τοῦ δ' ἀνδρός.] ἤτοι ἀναφορικῶς τοῦ Ὀδυσσέως. ἢ τοῦ δὲ ἀνδρὸς δεικτικῶς ἀντὶ τοῦ ἐμοῦ. ἐπ' ἰκριόφιν.] ἐπὶ τῶν καταστρωμάτων καὶ σανιδωμάτων τῆς νηός. καταλέξεται.] κοιμηθήσεται. λίπωνται.] καταλειφθῶσιν. ξεινίζειν.] ξενοδοχεῖν φιλικῶς ὑποδέχεσθαι. ἔφησθα.] εἶπας. εὕδῃ.] κοιμηθῇ. θαρσύνω.] παρορμήσω, θαρρεῖν ποιήσω. γεραίτερος.] παλαιότερος. λεξαίμην.] κοιμηθείην. μετὰ Καύκωνας.] νῦν τῶν ἐν Ἀρκαδίᾳ μέμνηται. οὐκέτι δὲ ἡ Ἀθηνᾶ πρὸς τὸν Μενέλαον σὺν τῷ Τηλεμάχῳ ἀφικνεῖται διότι γάμοι ἐπιτελοῦντο υἱοῦ καὶ θυγατρὸς Μενελάου. ἀλλοτρία δὲ τούτου ἡ Ἀθηνᾶ. ὀφέλλεται.] ὀφείλεται, χρεωστεῖται. φήνῃ.] φήνη εἶδος ὀρνέου ὅμοιον ἀετῷ. θαύμαζεν δ' ὁ γεραιός.] ὅτι νέῳ ὄντι τῷ Τηλεμάχῳ συνηκολούθει ἡ Ἀθηνᾶ. κακόν.] δειλὸν ἀσθενῆ. ἕπονται.] ἀκολουθοῦσιν. ἵληθι.] ἵλεως καὶ εὐμενὴς ἔσο. δίδωθι.] δίδου, παρέχε. ἀγακλυτά.] ἄγαν ἔνδοξα.

περιχεύας.]

Δὴ τότ' Ἀθηναίη καὶ Τηλέμαχος θεοειδὴς,
Ἄμφω ἱέσθην κοίλην ἐπὶ νῆα νέεσθαι.
Νέστωρ δ' αὖ κατέρυκε καθαπτόμενος ἐπέεσσι,
Ζεὺς τόγ' ἀλεξήσειε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Ὣς ὑμεῖς παρ' ἐμεῖο θοὴν ἐπὶ νῆα κίοιτε.
Ὥς τέ τευ ἢ παρὰ πάμπαν ἀνείμονος ἠὲ πενιχροῦ,
Ὧ οὔτι χλαῖναι καὶ ῥήγεα πόλλ' ἐνὶ οἴκῳ,
Οὔτ' αὐτῷ μαλακῶς οὔτε ξείνοισιν ἐνεύδειν,
Αὐτὰρ ἐμοὶ πάρα μὲν χλαῖναι καὶ ῥήγεα καλά,
Οὔ θην δὴ τοῦ δ' ἀνδρὸς Ὀδυσσῆος φίλος υἱὸς
Νηὸς ἐπ' ἰκριόφιν καταλέξεται, ὄφρ' ἂν ἔγωγε
Ζώω, ἔπειτα δὲ παῖδες ἐνὶ μεγάροισι λίπωνται
Ξείνους ξεινίζειν, ὅς τίς κ' ἐμὰ δώμαθ' ἵκηται.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη.
Εὖ δὴ ταῦτά γ' ἔφησθα γέρον φίλε. σοὶ δὲ ἔοικε
Τηλέμαχον πείθεσθαι, ἐπεὶ πολὺ κάλλιον οὕτω,
Ἀλλ' οὗτος μὲν νῦν σοὶ ἅμ' ἕψεται, ὄφρα κεν εὕδῃ
Σοῖσιν ἐνὶ μεγάροισιν, ἐγὼ δ' ἐπὶ νῆα μέλαιναν
Εἶμ' ἵνα θαρσύνω θ' ἑτάρους, εἴπω τε ἕκαστα.
Οἶος γὰρ μετὰ τοῖσι γεραίτερος εὔχομαι εἶναι,
Οἱ δ' ἄλλοι φιλότητι νεώτεροι ἄνδρες ἕπονται,
Πάντες ὁμηλικίη μεγαθύμου Τηλεμάχοιο,
Ἔνθα κε λεξαίμην κοίλῃ παρὰ νηῒ μελαίνῃ,
Νῦν ἀτὰρ ἠῶθεν μετὰ Καύκωνας μεγαθύμους
Εἶμ' ἔνθα χρεῖός μοι ὀφέλλεται, οὔτι νέον γε
Οὐδ' ὀλίγον, σὺ δὲ τοῦτον ἐπεὶ τεὸν ἵκετο δῶμα.
Πέμψον σὺν δίφρῳ τε καὶ υἱεῖ, δὸς δέ οἱ ἵππους,
Οἵ τοι ἐλαφρότατοι θείειν καὶ κάρτος ἄριστοι.
Ὣς ἄρα φωνήσασ' ἀπέβη γλαυκῶπις Ἀθήνη,
Φήνῃ εἰδομένη, θάμβος δ' ἕλε πάντας ἰδόντας,
Θαύμαζεν δ' ὁ γεραιός, ὅπως ἴδεν ὀφθαλμοῖσι.
Τηλεμάχου δ' ἕλε χεῖρα, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν.
Ὦ φίλος, οὔ σε ἔολπα κακὸν καὶ ἄναλκιν ἔσεσθαι,
Εἰ δή τοι νέῳ ὧδε θεοὶ πομπῆες ἕπονται,
Οὐ μὲν γάρ τις ὅδ' ἄλλος ὀλύμπια δώματ' ἐχόντων,
Ἀλλὰ Διὸς θυγάτηρ ἀγελείη τριτογένεια,
Ἥ τοι καὶ πατέρ' ἐσθλὸν ἐν Ἀργείοισιν ἐτίμα.
Ἀλλὰ ἄνασσ' ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλόν,
Αὐτῷ καὶ παίδεσσι καὶ αἰδοίῃ παρακοίτι,
Σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἦνιν εὐρυμέτωπον
Ἀδμήτην ἣν οὔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ.
Τήν τοι ἐγὼ ῥέξω χρυσὸν κέρασι περιχεύας.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη.
Τοῖσιν δ' ἡγεμόνευε Γερήνιος ἱππότα Νέστωρ.
Υἱάσι καὶ γαμβροῖσιν ἑὰ πρὸς δώματα καλά.
Ἀλλ' ὅτε δώμαθ' ἵκοντο ἀγακλυτὰ τοῖο ἄνακτος,

Ἑξείης

Ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε.
Τοῖς δ' ὁ γέρων ἐλθοῦσιν ἀνὰ κρητῆρα κέρασσεν
Οἴνου ἡδυπότοιο, τὸν ἑνδεκάτῳ ἐνιαυτῷ
Ὤιξε ταμίη, καὶ ἀποκρήδεμνον ἔλυσε.
Τοῦ ὁ γέρων κρητῆρα κεράσσατο· πολλὰ δ' Ἀθήνῃ
Εὔχετ' ἀποσπένδων κούρῃ Διὸς αἰγιόχοιο.
Αὐτὰρ ἐπεὶ σπεῖσάντ' ἔπιόν θ' ὅσον ἤθελε θυμός,
Οἱ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος,
Τὸν δ' αὐτοῦ κοίμησε γερήνιος ἱππότα Νέστωρ,
Τηλέμαχον φίλον υἱὸν Ὀδυσσῆος θείοιο,
Τρητοῖς ἐν λεχέεσσιν ὑπ' αἰθούσῃ ἐριδούπῳ·
Πὰρ δ' ἄρ' ἐϋμμελίην Πεισίστρατον ὄρχαμον ἀνδρῶν,
Ὅς οἱ ἔτ' ἠΐθεος παίδων ἦν ἐν μεγάροισιν,
Αὐτὸς δ' αὖτε καθεῦδε μυχῷ δόμου ὑψηλοῖο,
Τῷ δ' ἄλοχος δέσποινα λέχος πόρσυνε καὶ εὐνήν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Ὤρνυτ' ἄρ' ἐξ εὐνῆφι γερήνιος ἱππότα Νέστωρ.
Ἐκ δ' ἐλθὼν κατ' ἄρ' ἕζετ' ἐπὶ ξεστοῖσι λίθοισιν,
Οἵ οἱ ἔσαν προπάροιθε θυράων ὑψηλάων
Λευκοὶ ἀποστίλβοντες ἀλείφατος, οἷς ἔπι μὲν πρὶν
Νηλεὺς ἵζεσκεν, θεόφιν μήστωρ ἀτάλαντος,
Ἀλλ' ὁ μὲν ἤδη κηρὶ δαμεὶς, ἀϊδόσδε βεβήκει,
Νέστωρ δ' αὖ τότ' ἐφῖζε γερήνιος οὖρος Ἀχαιῶν
Σκῆπτρον ἔχων, περὶ δ' υἷες ἀολλέες ἠγερέθοντο
Ἐκ θαλάμων ἐλθόντες, Ἐχέφρων τε Στρατίος τε,
Περσεύς τ' Ἄρητός τε καὶ ἀντίθεος Θρασυμήδης.
Τοῖσι δ' ἔπειθ' ἕκτος Πεισίστρατος ἤλυθεν ἥρως,
Πὰρ δ' ἄρα Τηλέμαχον θεοείκελον εἷσαν ἄγοντες,
Τοῖσι δὲ μύθων ἦρχε γερήνιος ἱππότα Νέστωρ,
Καρπαλίμως μοι τέκνα φίλα, κρηήνατ' ἐέλδωρ.
Ὄφρ' ἤτοι πρώτιστα θεῶν ἱλάσσομ' Ἀθήνην,
Ἥ μοι ἐναργὴς ἦλθε θεοῦ ἐς δαῖτα θάλειαν,
Ἀλλ' ἄγ' ὁ μὲν πεδίονδ' ἐπὶ βοῦν ἴτω, ὄφρα τάχιστα
Ἔλθῃσιν, ἐλάσῃ δὲ βοῶν ἐπιβουκόλος ἀνήρ,
Εἷς δ' ἐπὶ Τηλεμάχου μεγαθύμου νῆα μέλαιναν
Πάντας ἰὼν ἑτάρους ἀγέτω, λιπέτω δὲ δύ' οἴους
Εἷς δ' αὖ χρυσοχόον Λαέρκεα δεῦρο κελέσθω
Ἐλθεῖν, ὄφρα βοὸς χρυσὸν κέρασιν περιχεύῃ,
Οἱ δ' ἄλλοι μένετ' αὐτοῦ ἀολλέες, εἴπατε δ' εἴσω
Δμωῇσιν κατὰ δώματ' ἀγακλυτὰ δαῖτα πένεσθαι,
Ἕδρας τε, ξύλα τ' ἀμφὶ καὶ ἀγλαὸν οἰσέμεν ὕδωρ,
Ὣς ἔφαθ' οἱ δ' ἄρα πάντες ἐποίπνυον, ἦλθε μὲν ἄρ βοῦς
Ἐκ πεδίου, ἦλθον δὲ θοῆς παρὰ νηὸς ἐΐσης,
Τηλεμάχου ἕταροι μεγαλήτορος, ἦλθε δὲ χαλκεύς,
Ὅπλ' ἐν χερσὶν ἔχων χαλκήϊα πείρατα τέχνης,
Ἄκμονά τε σφῦράν τ' ἐϋποίητόν τε πυράγρην,

Οἷσίν

κρήδεμνον.] τὸ πῶμα μεταφορικῶς τοῦ πίθου. αἰθούσῃ.] τῇ πρὸς ἥλιον τετραμμένῃ, παρὰ τὸ αἴθεσθαι ἐν αὐτῇ φῶς, ὅ ἐστι καίεσθαι. ἐριδούπῳ.] μεγάλους ἤχους ἀποτελούσῃ διὰ τοὺς ἀνέμους. ἐϋμμελίην.] καλῶς τῇ μελίᾳ χρώμενον. ὄρχαμον.] ἡγεμόνα. ἠΐθεος.] ὁ ἀπὸ τεσσαρεσκαίδεκα ἐτῶν ἕως ὀκτωκαίδεκα ἠΐθεος λέγεται, ἔστι δὲ ἄγαμος. πόρσυνε.] ηὐτρέπιζεν. ἀποστίλβοντες.] ἀπολάμποντες. ἀλείφατος.] λείπει τὸ ὡς· ἔστι γὰρ ὡς ἐλαίου. ἵζεσκεν.] ἐκαθέζετο. ἐφῖζε.] ἐπεκάθητο. θεοείκελον.] θεοῖς ὅμοιον. εἷσαν.] ἐκάθισαν. κρηήνατε.] ἐπιτελέσατε. ἱλάσομαι.] ἐξιλεώσομαι. ἐναργής.] φανερά. ἴτω.] βαδιζέτω. θάλειαν.] θάλλειν καὶ αὔξειν ποιοῦσαν. λιπέτω.] καταλιπέτω. ἰασάτω. οἴους.] μόνους. κελέσθω.] κελευσάτω. περιχεύῃ.] περιβάλλει. ἐποίπνυον.] ἐνήργουν. ὅπλα.] τὰ ἐργαλεῖα. χαλκήϊα.] χαλκευτικά. πείρατα.] τέχνης, εἰς ἃ ἡ τέχνη συμπεραιοῦται.

ἀντιόωσα.]

Οἷσίν τε χρυσὸν εἰργάζετο, ἦλθε δ' Ἀθήνη
Ἱρῶν ἀντιόωσα, γέρων δ' ἱππηλάτα Νέστωρ,
Χρυσὸν ἔδωχ'. ὁ δ' ἔπειτα βοὸς κέρασιν περίχευεν
Ἀσκήσας ἵν' ἄγαλμα θεὰ κεχάροιτο ἰδοῦσα,
Βοῦν δ' ἀγέτην κεράων Στρατίος καὶ δῖος Ἐχέφρων,
Χέρνιβα δέ σφ' Ἄρητος ἐν ἀνθεμόεντι λέβητι,
Ἤλυθεν ἐκ θαλάμοιο φέρων, ἑτέρῃ δ' ἔχεν οὐλὰς
Ἐν κανέῳ, πέλεκυν δὲ μενεπτόλεμος Θρασυμήδης,
Ὀξὺν ἔχων ἐν χειρὶ παρίστατο βοῦν ἐπικόψων,
Περσεὺς δ' ἀμνίον εἶχε, γέρων δ' ἱππηλάτα Νέστωρ
Χέρνιβά τ' οὐλοχύτας τε κατήρχετο, πολλὰ δ' Ἀθήνῃ
Εὔχετ' ἀπαρχόμενος κεφαλῆς τρίχας ἐν πυρὶ βάλλων.
Αὐτὰρ ἐπεί ῥ' εὔξαντο, καὶ οὐλοχύτας προβάλοντο,
Αὐτίκα Νέστορος υἱὸς ὑπέρθυμος Θρασυμήδης,
Ἤλασεν ἀγχιστάς. πέλεκυς δ' ἀπέκοψε τένοντας
Αὐχενίους, λῦσεν δὲ βοὸς μένος, αἱ δ' ὀλόλυξαν
Θυγατέρες τε, νυοί τε, καὶ αἰδοίη παράκοιτις
Νέστορος Εὐρυδίκη, πρέσβα Κλυμένοιο θυγατρῶν.
Οἱ μὲν ἔπειτ' ἀνελόντες ἀπὸ χθονὸς εὐρυοδείης,
Ἔσχον, ἀτὰρ σφάξεν Πεισίστρατος ὄρχαμος ἀνδρῶν.
Τῆς δ' ἐπεὶ ἐκ μέλαν αἷμα ῥύη, λίπε δ' ὀστέα θυμός,
Αἶψ' ἄρα μιν διέχευαν. ἄφαρ δ' ἐκ μηρία τάμνον
Πάντα κατὰ μοῖραν, κατά τε κνίσῃ ἐκάλυψαν,
Δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν,
Καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
Λεῖβε, νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν.
Αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη, καὶ σπλάγχν' ἐπάσαντο,
Μίστυλλόν τ' ἄρα τἆλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,
Ὤπτων δ' ἀκροπόρους ὀβελοὺς ἐν χερσὶν ἔχοντες.
Τόφρα δὲ Τηλέμαχον λοῦσεν καλὴ Πολυκάστη,
Νέστορος ὁπλοτάτη θυγάτηρ Νηληιάδαο,
Αὐτὰρ ἐπεὶ λοῦσέν τε, καὶ ἔχρισε λίπ' ἐλαίῳ,
Ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλεν ἠδὲ χιτῶνα,
Ἔκ ῥ' ἀσαμίνθου βῆ δέμας ἀθανάτοισιν ὁμοῖος,
Πὰρ δ' ἄρα Νέστορ' ἰὼν κατ' ἄρ' ἕζετο ποιμένι λαῶν,
Οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ ἐρύσαντο,
Δαίνυνθ' ἑζόμενοι, ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄροντο,
Οἶνον ἐνοινοχοεῦντες ἐνὶ χρυσέοις δεπάεσσιν.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Τοῖσι δὲ μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ,
Παῖδες ἐμοί, ἄγε Τηλεμάχῳ καλλίτριχας ἵππους
Ζεύξαθ' ὑφ' ἅρματ' ἄγοντες, ἵνα πρήσσῃσιν ὁδοῖο.
Ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
Καρπαλίμως δ' ἔζευξαν ὑφ' ἅρμασιν ὠκέας ἵππους.
Ἐν δὲ γυνὴ ταμίη σῖτον καὶ οἶνον ἔθηκεν,
Ὄψα τε, οἷα ἔδουσι διοτρεφέες βασιλῆες,

Ἂν δ' ἄρα

*ἀντιόωσα.] μεταληψομένη. ἀνθεμόεντι.] ποικίλῳ, διὰ τὰ ἐντετορνευμένα αὐτῷ ἐπιτόρπῃ. οὐλάς.] ἁλιμοβρόχους κριθάς. πέλεκυν.] δίστομον ἀξίνην. ἀμνίον.] ἔστι μὲν τῶν ἅπαξ εἰρημένων ἡ λέξις, σημαίνει δὲ ἀγγεῖον ὅπου τὸ αἷμα τοῦ ἱερείου δέχονται. καὶ ἔστι κατὰ τὸ ἔτυμον ἀμένιον, ὅ ἐστι στερητικοῦ τοῦ μένους τουτέστι ψυχῆς, οἱ Ἀττικοὶ δὲ σφάγιον αὐτὸ καλοῦσι. χέρνιβά τ' οὐλοχύτας τε κατήρχετο.] χερνίβων καὶ οὐλῶν πρῶτος ἦρχεν. ἤλασεν] ἔπαισεν. ἔκρουσεν. τένοντας.] πάντα τὰ διατεταμένα νεῦρα Ὅμηρος τένοντας καλεῖ. ὀλόλυξαν.] μετὰ βοῆς ηὔξαντο. νυοί.] νύμφαι. πρέσβα.] πρεσβυτέρα, ἢ ἔντιμος. ἀνέχοντες.] κουφίσαντες. εὐρυοδείης.] πλατείας ὁδοὺς ἐχούσης. ἔσχον.] κατέσχον. ῥύη.] ἔρρευσεν. διέχευσεν.] κατὰ μέρη διεῖλον. τάμνον.] διέτεμον, διέκοψαν. ἀκροπόρους.] ὀξεῖς, ὧν τὸ ἄκρον διὰ τῶν περομένων εὐχερῶς δίεισιν διὰ τὴν ὀξύτητα. ὁπλοτάτη.] νεωτάτη. λίπ' ἐλαίῳ] τῷ λιπαρῷ ἐλαίῳ. ἑζόμενοι.] καθεζόμενοι. ὄροντο.] ὅρ[illegible] οἰνοχοεῦντες.] κιρνῶντες. πρή[illegible]ν ὁδοῖο.] πορεύηται εἰς τὴν ὁδόν. ὄψα.] ἐδέσματα. διοτρεφέες.] ὑπὸ Διὸς τετραμμένοι, εὐγενεῖς. σεῖον ζυγόν.]*

Ἂν δ' ἄρα Τηλέμαχος περικαλλέα βήσετο δίφρον,
πὰρ δ' ἄρα Νεστορίδης Πεισίστρατος ὄρχαμος ἀνδρῶν,
ἐς δίφρον τ' ἀνέβαινε, καὶ ἡνία λάζετο χερσί,
μάστιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἄκοντε πετέσθην
ἐς πεδίον, λιπέτην δὲ Πύλου αἰπὺ πτολίεθρον.
οἱ δὲ πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες.
δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.
ἐς Φηρὰς δ' ἵκοντο Διοκλῆος ποτὶ δῶμα
υἱέος Ὀρτιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.
ἔνθα δὲ νύκτ' ἄεσαν, ὁ δὲ τοῖς πὰρ ξείνια θῆκεν,
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
ἵππους τ' ἐζεύγνυντ', ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον,
μάστιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἄκοντε πετέσθην,
ἷξον δ' ἐς πεδίον πυρηφόρον, ἔνθα δ' ἔπειτα,
ἦνον ὁδόν, τοῖον γὰρ ὑπέκφερον ὠκέες ἵπποι,
δύσετό τ' ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί.

σεῖον ζυγόν.] παρεκδοχικῶς ἀπὸ τοῦ παρεπομένου τὸ προηγούμενον, ἀντὶ τοῦ ὥδευον. Φηράς.] Φηραὶ πόλις τῶν ἐν ἄλλων Μεσσηνίας. οἱ δὲ τῆς Λακωνικῆς.

Ἀλφειός.] ποταμὸς Ἤλιδος. ἄεσαν.] ἀνεπαύσαντο, ἐκοιμήθησαν.

πυρηφόρον.] σιτοφόρον. ἦνον.] ἤνυον, διήρχοντο. τοῖον γὰρ ὑπέκφερον. οὕτω γὰρ μετὰ τάχους ἔτρεχον.

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Δ ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Παρὰ Μενελάῳ ξενισθεὶς σὺν Πεισιστράτῳ Τηλέμαχος ἀπαγγέλλει τὰ κατὰ τὴν Ἰθάκην ὑπὸ τῶν μνηστήρων πραττόμενα. ἔπειτα ἐξηγεῖται αὐτῷ ὁ Μενέλαος περὶ τοῦ νόστου τῶν Ἑλλήνων καὶ τῆς Πρωτέως μαντείας. δι' ἧς ἔγνω τὸν Ἀγαμέμνονος θάνατον, καὶ ὡς Ὀδυσσεὺς παρὰ Καλυψοῖ ἐστι. βουλὴ δὲ γίνεται τῶν μνηστήρων περὶ τοῦ τὸν Τηλέμαχον ἀνελεῖν. παραμυθεῖται δὲ ἡ Ἀθηνᾶ δι' ὀνείρου τὴν Πηνελόπην ἐπὶ τῇ τοῦ παιδὸς ἀποδημίᾳ δυσχεραίνουσαν διὰ ζῆλον. ὁμοιωθεῖσα Ἰφθίμῃ τῇ τῆς Πηνελόπης ἀδελφῇ.

## ΟΔΥΣΣΕΙΑΣ Δ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Δέλτα μαθ' ἀμφὶ πατρὸς παρ' Ἀτρείδα, λοχώμενος υἱός.

Οἱ δ' ἷξον κοίλην Λακεδαίμονα κητώεσσαν,
πρὸς δ' ἄρα δώματ' ἔλων Μενελάου κυδαλίμοιο.
τὸν δ' εὗρον δαινῦντα γάμον πολλοῖσιν ἔτῃσιν,
υἱέος ἠδὲ θυγατρὸς ἀμύμονος, ᾧ ἐνὶ οἴκῳ.
τὴν μὲν Ἀχιλλῆος ῥηξήνορος υἱέϊ πέμπεν.
ἐν Τροίῃ γὰρ πρῶτον ὑπέσχετο καὶ κατένευσεν
δωσέμεναι, τοῖσιν δὲ θεοὶ γάμον ἐξετέλειον,
τὴν ἄρ' ὅ γ' ἔνθ' ἵπποισι καὶ ἅρμασι πέμπε νέεσθαι,
Μυρμιδόνων προτὶ ἄστυ περικλυτόν, οἷσιν ἄνασσεν,
υἱέϊ δὲ Σπάρτηθεν Ἀλέκτορος ἤγετο κούρην,
ὅς οἱ τηλύγετος γένετο κρατερὸς Μεγαπένθης
ἐκ δούλης

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Δ. ΤΟΥ Ὁμήρου ῥαψῳδίαν.

Κοίλην Λακεδαίμονα.] ἐπὶ ὑψηλοτάτοις ὄρεσι περικέκλεισται. ποτὲ μὲν τὴν πόλιν καλεῖ Λακεδαίμονα, ποτὲ δὲ τὴν χώραν Λακεδαίμονα τὴν Σπάρτην. ἔλων.] ἤλαυνον. δαινῦντα.] ἑστιῶντα. ἔτῃσιν.] πολίταις.

ῥηξήνορος.] ἀνδρείου. τοῦ διὰ τῆς ἠνορέας ῥήσσοντος τὰς τάξεις. δωσέμεναι.] δοῦναι παρασχεῖν. Μυρμιδόνων προτὶ ἄστυ.] ἣν Ὅμηρος μὲν Φθίαν λέγει. οἱ δὲ νεώτεροι Φαρσαλίαν. Σπάρτηθεν.] ἐκ τῆς Σπάρτης.

Ἀλέκτορος κούρην.] οἱ μὲν Ἰφιλόχην. οἱ δὲ Ἐχεμήλην λέγουσιν. τὸν δὲ Ἀλέκτορα γενεαλογοῦσιν Ἀργέος τοῦ Πέλοπος. τηλύγετος.] ἤτοι τηλοῦ τῆς ἡλικίας, τουτέστι προβεβηκόσι τοῖς γονεῦσι γενόμενος παῖς· μεθ' ὃν οὐκέτι ἐλπίζουσι τεκνῶσαι, ἢ μονογενής. καθάπερ Τηλέμαχος τῷ Ὀδυσσεῖ καὶ Ὀρέστης τῷ Ἀγαμέμνονι. Μεγαπένθης.] ἐκ τοῦ ὀνόματος δηλοῖ, ὅτι μετὰ τὴν ἁρπαγὴν τοῦτον ἔσχεν.